Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXIII. De Mabia Saracenorum Regina, & de Mosis Monachi ordinatione.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

## Cap. XXIII.

*De Mabia Saracenorum Regina, & de Mosis monachi ordinatione.*

PEr idem tempus, Ismaelitarum gens vicinas Romani Imperii provincias populabatur. Eorum Dux erat Mavia; quæ naturalis sexus oblita, virilem animum induerat. Hæc post multa prælia, icto tandem fœdere cum Romanis, & suscepto divinæ cognitionis lumine, petiit ut Genti suæ sacerdos crearetur Moses quidam, qui in confinio Ægypti ac Palestinæ morabatur. Cui petitioni annuens Imperator Valens, hominem Alexandriam duci præcepit: hæc enim civitas erat vicinior, ibique Pontificalem gratiam suscipere. Qui cum eò perductus esset, videretque Lucium manus ipsi imponere conantem: Absit, inquit, ut ego manu tua ordiner. Te enim invocante, non supervenit gratia Spiritus Sancti. Ad hæc Lucius; unde nam vero, inquit, conjecturâ ductus hæc dicis. Cui Moses respondit: Non conjectura ductus hoc dico, sed probe novi. Nam & Apostolicam doctrinam impugnas, & contraria ei loqueris. Et cum impiis sermonibus iniqua facinora egregiè consentiunt. Quis enim impius, tuâ operâ Ecclesiasticis conventibus non insultavit? Quis vir laude dignus fugatus non est? Quam Barbaricam feritatem non superant quotidiana ausa tua. Hæc ille cum ingenti fiducia dicebat: Lucius verò cædis avidus audiebat. Et cupiebat quidem occidere; sed verebatur ne sedatum jam bellum iterum suscitaret. Quamobrem ad alios Episcopos eum deduci jussit, quos ille postulaverat. Cum hac igitur admirabili fide, sacerdotali quoque gratia simul percepta, ad eos qui ipsum petierant, perrexit. Et Apostolicis prædicationibus pariter ac miraculis eos ad veritatis tramitem perduxit. Et Alexandriæ quidem hæc à Lucio tentata: per divinam autem providentiam hoc modo dispensata sunt.

## Κεφ. κγʹ.

Περὶ Μαβίας τῆς ἀρχηγοῦ τῶν Σαρακηνῶν, καὶ τῆς Μωϋσέως τοῦ μονάζοντος χειροτονίας.

ΚΑΤ' ἐκεῖνον τὸν χρόνον, τὰ Ἰσμαηλιτῶν φῦλα τὰς πελαζούσας τῆς Ῥωμαίων ἡγεμονίας ἐληΐζετο χώρας. Μαβία δὲ τούτων ἡγεῖτο, οὐχ ὁρῶσα μὲν ἣν ἔλαχε φύσιν, ἀνδρείῳ δὲ φρονήματι κεχρημένη. αὕτη μετὰ πολλὰς συμπλοκὰς σπεισαμένη, εἶτα τῆς θεογνωσίας εἰσδεξαμένη τὸ φῶς, ᾔτησεν ἀρχιερέα προβληθῆναι τῷ ἔθνει, Μωσῆν τινα ἐν μεθορίῳ τῆς Αἰγύπτου καὶ Παλαιστίνης ἐσκηνωμένον. ταύτην δεξάμενος ὁ Οὐάλης τὴν αἴτησιν, εἰς τὴν Ἀλεξάνδρειαν ἀπαχθῆναι τὸν θεῖον ἄνδρα προσέταξε, κἀκεῖθεν αὐτὸν τὴν ἀρχιερατικὴν ὑποδέξασθαι χάριν. ἐκεῖ γὰρ μᾶλλον ἐπέλαζεν. ἐπειδὴ δὲ ἀπήχθη, καὶ τὸν Λούκιον εἶδεν ἐπιθεῖναι αὐτῷ τὴν χεῖρα πειρώμενον. μὴ γένοιτο, ἔφη, παρὰ τῆς σῆς με χειροτονηθῆναι χειρός. οὐκ ἐπιφοιτᾷ γάρ σου καλοῦντος ἡ χάρις τοῦ πνεύματος. ὁ δὲ Λούκιος, πόθεν ταῦτα, ἔφη, τοπάζων λέγεις. ὁ δέ, οὐ τοπάζων εἶπον, ἀλλ' οἶδα σαφῶς. τοῖς τε γὰρ ἀποστολικοῖς δόγμασι διαμάχῃ, καὶ ἀντίπαλα φθέγγῃ· καὶ τοῖς βλασφήμοις λόγοις συμβαίνει τὰ παρανόμως γιγνόμενα. τίς γὰρ διά σε δυσσεβὴς τοῖς ἐκκλησιαστικοῖς συλλόγοις οὐκ ἐπεκώμασε; τίς τῶν ἀξιεπαίνων ἀνδρῶν οὐκ ἐλήλαται; ποίαν θηριωδίαν βαρβαρικὴν οὐκ ἀπέκρυψε τὰ παρά σου καθ' ἑκάστην ἡμέραν τολμώμενα. ταῦτα ὁ μὲν θαρραλέως ἔλεγεν· ὁ δὲ φονῶν ἤκουε· καὶ σφαγῆς μὲν ἐφίετο. ἐδεδίει δὲ μὴ πάλιν ἐξάψῃ τὸν παυσάμενον πόλεμον. οὗ δὴ χάριν ἑτέροις αὐτὸν ἐπισκόποις προσαχθῆναι προσέταξεν, οὓς ἐκεῖνος ἐξήτησε. μετὰ δὲ τῆς ἀξιαγάστου πίστεως τὴν ἀρχιερατικὴν εἰσδεξάμενος χάριν, πρὸς τοὺς αἰτήσαντας παρεγένετο, καὶ ταῖς ἀποστολικαῖς διδασκαλίαις τε καὶ θαυματουργίαις πρὸς τὴν ἀλήθειαν ἐποδήγησεν. ἐν μὲν οὖν τῇ Ἀλεξανδρείᾳ, τοιαῦτα ὑπό τε Λουκίου ἐτολμήθη, καὶ ὑπὸ τῆς θείας προμηθείας ᾠκονομήθη.